5 καὶ δώσω αὐτὴν εἰς λεωπετρίαν· [5]ψυγμὸς σαγηνῶν ἔσται ἐν μέσῳ
θαλάσσης, ὅτι ἐγὼ λελάληκα, λέγει κύριος· καὶ ἔσται εἰς προνομὴν
6 τοῖς ἔθνεσιν, [6]καὶ αἱ θυγατέρες αὐτῆς αἱ ἐν τῷ πεδίῳ μαχαίρᾳ
7 ἀναιρεθήσονται· καὶ γνώσονται ὅτι ἐγὼ κύριος. [7]ὅτι τάδε λέγει
κύριος Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σέ, Σορ, τὸν Ναβουχοδονοσορ βασιλέα
Βαβυλῶνος ἀπὸ τοῦ βορρᾶ (βασιλεὺς βασιλέων ἐστίν) μεθ᾽ ἵππων
καὶ ἁρμάτων καὶ ἱππέων καὶ συναγωγῆς ἐθνῶν πολλῶν σφόδρα.
8 [8]οὗτος τὰς θυγατέρας σου τὰς ἐν τῷ πεδίῳ μαχαίρᾳ ἀνελεῖ καὶ
δώσει ἐπὶ σὲ προφυλακὴν καὶ περιοικοδομήσει καὶ ποιήσει ἐπὶ σὲ
κύκλῳ χάρακα καὶ περίστασιν ὅπλων καὶ τὰς λόγχας αὐτοῦ ἀπ-
9 έναντί σου δώσει· [9]τὰ τείχη σου καὶ τοὺς πύργους σου καταβαλεῖ
10 ἐν ταῖς μαχαίραις αὐτοῦ. [10]ἀπὸ τοῦ πλήθους τῶν ἵππων αὐτοῦ
κατακαλύψει σε ὁ κονιορτὸς αὐτῶν, καὶ ἀπὸ τῆς φωνῆς τῶν ἱπ-
πέων αὐτοῦ καὶ τῶν τροχῶν τῶν ἁρμάτων αὐτοῦ σεισθήσεται τὰ
τείχη σου εἰσπορευομένου αὐτοῦ τὰς πύλας σου ὡς εἰσπορευόμενος
11 εἰς πόλιν ἐκ πεδίου. [11]ἐν ταῖς ὁπλαῖς τῶν ἵππων αὐτοῦ καταπα-
τήσουσίν σου πάσας τὰς πλατείας· τὸν λαόν σου μαχαίρᾳ ἀνελεῖ
12 καὶ τὴν ὑπόστασίν σου τῆς ἰσχύος ἐπὶ τὴν γῆν κατάξει. [12]καὶ
προνομεύσει τὴν δύναμίν σου καὶ σκυλεύσει τὰ ὑπάρχοντά σου
καὶ καταβαλεῖ σου τὰ τείχη καὶ τοὺς οἴκους σου τοὺς ἐπιθυμητοὺς
καθελεῖ καὶ τοὺς λίθους σου καὶ τὰ ξύλα σου καὶ τὸν χοῦν σου
13 εἰς μέσον τῆς θαλάσσης ἐμβαλεῖ. [13]καὶ καταλύσει τὸ πλῆθος τῶν
μουσικῶν σου, καὶ ἡ φωνὴ τῶν ψαλτηρίων σου οὐ μὴ ἀκουσθῇ
14 ἔτι. [14]καὶ δώσω σε εἰς λεωπετρίαν, ψυγμὸς σαγηνῶν ἔσῃ· οὐ μὴ
15 οἰκοδομηθῇς ἔτι, ὅτι ἐγὼ ἐλάλησα, λέγει κύριος. [15]διότι τάδε λέγει
κύριος κύριος τῇ Σορ Οὐκ ἀπὸ φωνῆς τῆς πτώσεώς σου ἐν τῷ
στενάξαι τραυματίας ἐν τῷ σπάσαι μάχαιραν ἐν μέσῳ σου σεισθή-
16 σονται αἱ νῆσοι; [16]καὶ καταβήσονται ἀπὸ τῶν θρόνων αὐτῶν
πάντες οἱ ἄρχοντες ἐκ τῶν ἐθνῶν τῆς θαλάσσης καὶ ἀφελοῦνται
τὰς μίτρας ἀπὸ τῶν κεφαλῶν αὐτῶν καὶ τὸν ἱματισμὸν τὸν ποι-

4 αυτην] σε A† || 5 θαλ.] pr. της A | λελαλ.] ελαλησα A | κυριος] + κυριος A: cf. 2 4 | τοις > A || 6 αι εν τω (cf. 8)] εν B | αναιρεθ.] πεσουνται A | εγω] + ειμι A || 7 οτι] δια τουτο A | κυριος: cf. 3 | επαγω > B*† | και ιππεων > Apau. | εθνων πολλων] πολλης εθνων A(†) || 8 ποιησει] pr. περι A† | κυκλω] + σου A | περιστασιν] βελοστασεις A | απεναντι σου] επι σε A || 10 κατακαλ.] κατα > A | και 1° et της > A | εισπορευομενος] pr. ο A || 11 σου / πασας τ. πλατ.] tr. A | σου / της ισχ.] tr. A || 12 τα υπαρχ.] τον πλουτον A | σου / τα τειχη] tr. A | τους οικ. — επιθυμ. / καθελει] tr. Apau. | σου / τους επιθυμ.] tr. BQL = 𝔐 | θαλασσης] + σου Bpau. || 13 ετι] εν σοι ουκετι A || 14 εις > B†: cf. 28 18 | ψυγμος] pr. και A | εγω] + κυριος B† || 15 κυριος κυριος] pr. αδωναι A, αδωναι κυριος V, κυριος semel tantum L: cf. 3 | τη σορ] επι σε σορ A(†) | τραυματιας B†] + σου rel. || 16 αφελουνται] καθελουσιν Apau. (A^c† ελουσιν)